eul_wid: icu-aa

*Δωσιάδας ὁ Κρής* · Dosiadas of Crete

# Epigram

## *Ἐπίγραμμα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Δωρική* Doric (frg)
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 26.1.1 Εἰμάρσενός με στήτας
book 26.1.2 πόσις, μέροψ δίσαβος,
book 26.1.3 τεῦξ’, οὐ σποδεύνας ἶνις Ἐμπούσας, μόρος
book 26.1.4 Τεύκροιο βούτα καὶ κυνὸς τεκνώματος,
book 26.5.1 Χρύσας δ’ ἀίτας, ἆμος ἐψάνδρα
book 26.5.2 τὸν γυιόχαλκον οὖρον ἔρραισεν,
book 26.5.3 ὃν ἀπάτωρ δίσευνος
book 26.5.4 μόγησε ματρόριπτος·
book 26.5.5 ἐμὸν δὲ τεῦγμ’ ἀθρήσας
book 26.10.1 Θεοκρίτοιο κτάντας
book 26.10.2 τριεσπέροιο καύστας
book 26.10.3 θώυξεν αἴν’ ἰύξας·
book 26.10.4 χάλεψε γάρ νιν ἰῷ
book 26.10.5 σύργαστρος ἐκδυγήρας·
book 26.15.1 τὸν δ’ αἰλινεῦντ’ ἐν ἀμφικλύστῳ
book 26.15.2 Πανός τε ματρὸς εὐνέτας, φὼρ
book 26.15.3 δίζῳος, ἶνίς τ’ ἀνδροβρῶτος Ἰλιορραιστᾶν
book 26 ἦρ’ ἀρδίων ἐς Τευκρίδ’ ἄγαγον τριπόρθητον.